# Lekce 28

| Gramatická látka | | Odkaz na gramatiku |
|---|---|---|
| Konjugace: | Kmeny plynné: aorist a futurum akt. a med. | §§ 286-287 |

**1.** Z Platónových *Zákonů*:

Ὃς ἂν ἐκ προνοίας[1] τε καὶ ἀδίκως ὁντιναοῦν τῶν ἐμφυλίων[2] αὐτόχειρ[3] κτείνῃ, τῶν νομίμων[4] εἰργέσθω[5], μήτε ἱερὰ μήτε ἀγορὰν μήτε λιμένας μήτε ἄλλον κοινὸν σύλλογον[6] μηδένα μιαίνων, ἐάντε τις ἀπαγορεύῃ τῷ δράσαντι ταῦτα ἀνθρώπων καὶ ἐὰν μή — ὁ γὰρ νόμος ἀπαγορεύει καὶ ἀπαγορεύων ὑπὲρ πάσης τῆς πόλεως ἀεὶ φαίνεταί τε καὶ φανεῖται. (Plat. Leg. 871a, 2 ff.)

**2a.** Θάρσει[7]· λέγων τἀληθὲς οὐ σφαλῇ ποτε. (Soph. Frgm. 529, TGF)

**2b.** Πολλά[8] τοι σμικροὶ[9] λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν[10] βροτούς. (Soph. El. 415 s.)

**3.** Περικλῆς ἐν ταῖς στρατηγίαις[11] εὐδοκίμει[12] μάλιστα διὰ τὴν ἀσφάλειαν[13] ἀεὶ λέγων πρὸς τοὺς πολίτας, ὡς ὅσον ἐπ' αὐτῷ[14] μενοῦσιν ἀθάνατοι πάντα τὸν χρόνον. (Plut. Pericl. 18,1)

**4.** Δημῶναξ ἐρομένου τινός· «Ὁποῖα νομίζεις τὰ ἐν Ἅιδου[15];» ἀπεκρίνατο· «Περίμεινον[16] κἀκεῖθέν σοι ἐπιστελῶ». (Lucian. vita Demon. 43)

**5.** Καιλίου δὲ τοῦ ῥήτορος δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, Κικέρων καλλωπιζόμενος[17] ἐπὶ τοῖς πεπραγμένοις γράφει πρὸς

---

[1] ἡ πρόνοια `úmysl'
[2] ἐμφύλιος `soukmenovec'
[3] αὐτόχειρ `vlastnoručně'
[4] τὰ νόμιμα `zavedenézvyky, mravy'
[5] εἴργω (gen.) `vylučovatz'
[6] ὁ σύλλογος `shromáždění, shromaždiště'
[7] θάρσει = θάρρει
[8] πολλά zde `často'
[9] σμικρός = μικρός
[10] κατορθῶ, -οῦν `prospívat'
[11] ἡ στρατηγία `vedení vojska'
[12] εὐδοκιμῶ, -εῖν `být proslulý'
[13] ἡ ἀσφάλεια `stálost', zde `opatrnost'
[14] ὅσον ἐπ' αὐτῷ `pokud záleží na něm'
[15] ἐν Ἅιδου (doplňte οἴκῳ) `v podsvětí'
[16] περιμένω `vyčkat'
[17] καλλωπίζομαι ἐπί (dat.) `vychloubat se'

αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται[18] πάντων εἰρήνην ἐχόντων. (Plut. Cicero 36, 6)

**6.** Ὁ δ' Ἀλκιβιάδης εἰς τὸ μανθάνειν ἥκων τοῖς μὲν ἄλλοις ὑπήκουε διδασκάλοις ἐπιεικῶς, τὸ δ' αὐλεῖν[19] ἔφευγεν ὡς ἀγεννὲς[20] καὶ ἀνελεύθερον[21]. «Αὐλείτωσαν[22]», ἔφη, «Θηβαίων παῖδες. διαλέγεσθαι γὰρ οὐκ ἴσασιν. ἡμῖν δὲ τοῖς Ἀθηναίοις, ὡς οἱ πατέρες λέγουσιν, ἀρχηγέτις[23] Ἀθηνᾶ καὶ πατρῷος[24] Ἀπόλλων, ὧν ἡ μὲν ἔρριψε τὸν αὐλόν[25], ὁ δὲ καὶ τὸν αὐλήτην[26] ἐξέδειρε.» (Plut. Alcib. 2, 5 s.)

**7.** Ἀλκιβιάδης ἔτι μειράκιον ὢν ἐστρατεύσατο τὴν εἰς Ποτίδαιαν στρατείαν καὶ Σωκράτη σύσκηνον[27] εἶχε καὶ παραστάτην[28] ἐν τοῖς ἀγῶσιν[29]. τοῦ δ' Ἀλκιβιάδου τραύματι[30] περιπεσόντος ὁ Σωκράτης ἤμυνε καὶ ἔσωσεν αὐτόν. (Plut. Alcib. 7, 3 s.)

## Slovní zásoba

| | | | |
|---|---|---|---|
| 1. | ἀποκτείνω, -ενῶ, -εινα, ἀπέκτονα, —, — | usmrtit, zabít | necare, interfecere |
| | ἡ ἀγορά, -ᾶς | náměstí | forum |
| | ὁ λιμήν, -ένος | přístav | portus |
| | μιαίνω, -ανῶ, -ανα, μεμίαγκα, μεμίασμαι, ἐμιάνθην | špinit, poskvrnit | maculare, imbuere |
| | ἀπαγορεύω, ἀπερῶ, ἀπεῖπον, ἀπείρηκα, ἀπείρημαι, ἀπερρήθην | zakázat, zapovědět | vetare, interdicere |
| | δρῶ, -ᾶν, -σω, -σα, -κα, -μαι, -σθην | konat, činit | facere, agere, gerere |
| 2. | σφάλλω, -αλῶ, ἔσφηλα, ἔσφαλκα, ἔσφαλμαι, ἐσφάλην | viklat, přivádět do záhuby | labefacere, fallere |
| | σφάλλομαι, -λοῦμαι, -όμην, -λμαι, — | mýlit se, chybovat | aberrare, falli |
| 3. | μένω, μενῶ, ἔμεινα, μεμένηκα, —, — | zůstat, čekat | manere, exspectare |
| 4. | ὁποῖος, -α, -ον | jaký | qualis |

[18] πολεμῶ, -εῖν `válčit', v pas. `být stíhán válkou'
[19] αὐλέω `hrát na flétnu, píšťalu'
[20] ἀγεννής `nedůstojný'
[21] ἀνελεύθερος `nevhodný pro svobodného člověka'
[22] αὐλείτωσαν = αὐλούντων
[23] ἡ ἀρχηγέτις `zakladatelka, patronka'
[24] πατρῷος `otcovský, praotci uctíván, patron'
[25] ὁ αὐλός `flétna, píšťala'
[26] ὁ αὐλήτης `flétnista, pištec'
[27] ὁ σύσκηνος `společník ve stanu'
[28] ὁ παραστάτης `pomocník'
[29] ὁ ἀγών `zápas', zde `bitva, boj'
[30] τὸ τραῦμα `rána'

 Provizorní interní tisk (Teiresiás MU - ÚKS FF MU). Kontakt: teiresias@muni.cz.

| | | | |
|---|---|---|---|
| | ἐκεῖθεν | odtud | hinc, inde |
| | στέλλω, -ελῶ, ἔστειλα, ἔσταλκα, ἔσταλμαι, ἐστάλην | posílat | mittere |
| | ἐπιστέλλω | oznámit, sdělit | nuntiare |
| 5. | ἀγανακτῶ, -εῖν, -ήσω, -ησα, -ηκα, —, — | být rozhořčený | indignari |
| 6. | ὑπακούω, -σομαι, -σα, -ακήκοα, -ήκουσμαι, -ηκούσθην (dat.) | naslouchat | audire |
| | ἐπιεικής, -ές | slušný | mansuetus, probus |
| | ἐκδέρω, -ρῶ, -έδειρα, -δέδαρκα, -ρμαι, -ρην | stáhnout, sedřít | detrahere |
| 7. | τὸ μειράκιον, -ου | mladík | iuvenis, adulescens |
| | ἀμύνω, -νῶ, ἤμυνα, —, —, — | odvracet, odrazit, chránit; bojovat za něco | avertere, defendere |

## Cvičení

Společně s lekcí 29.

Provizorní interní tisk (Teiresiás MU - ÚKS FF MU). Kontakt: teiresias@muni.cz.